eul_wid: cna-aa

*Ἀρμενίδας* · Armenidas

# Theban Antiquities and Myths

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

### ΘΗΒΑΙΚΑ. Schol.

1 Apoll. Rh. I, 551: Ἀρμενίδας ἐν τοῖς Θηβαϊκοῖς Ἀμφικτύονος υἱὸν Ἰτωνὸν ἐν Θεσσαλίᾳ γεννηθῆναι (γενέσθαι cod. Par. sc. φησὶ), ἀφ' οὗ Ἴτων πόλις καὶ Ἰτωνὶς Ἀθηνᾶ. Idem I, 741: Ὅτι δὲ ἠκολούθησαν τῇ Ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόματοι, ἱστορεῖ καὶ Ἀντιμενίδας (scr.

2 Ἀρμενίδας) ἐν πρώτῳ, τὴν δὲ λύραν δοθῆναι Ἀμφίονι ὑπὸ Μουσῶν φησι. Photius Lex.

3 : Μακάρων νῆσοι· ἡ ἀκρόπολις τῶν ἐν Βοιωτίᾳ Θηβῶν τὸ παλαιὸν, ὡς Ἁρμένδας. Schol.

4 Pind. Ol. VI, 23: [ Ἑπτὰ ἔπειτα πυρᾶ ν] Ἀριστόδημος φησὶ τὰς ἑπτὰ πυρὰς εἶναι τῶν στρατιωτῶν τῶν ἀπολομένων ... Ἀρμενιδ' (scr. Ἀρμενίδας) γράφει· «Καὶ πυρὰς ποιοῦντες ἑπτὰ ἐπὶ τοῖς ἕρμασιν, ἐνταῦθα ὅπου καλοῦνται Ἑπτὰ πυραὶ, ἢ ἀπὸ τῶν ἑπτὰ ἐπὶ Θήβαις ἢ ἀπὸ τῶν ἑπτὰ παίδων Νιόβης ἐκεῖ καυθέντων, ἀπὸ τῶν ιδ', χωρισθεισῶν τῶν συζυγιῶν.» Steph. [5]

5 Byz.: Ἁλίαρτος, πόλις Βοιωτίας ... Ἀρμενίδας δὲ τῷ ρ Ἀρίαρτόν φησιν. Athenaeus I: Ἐπίχαρμος δὲ ἀπό τινων Βιβλίνων φησὶν αὐτὸν (τὸν οἶνον Βίβλινον) ὠνομάσθαι.

6 Ἀρμενίδας δὲ τῆς Θρᾴκης φησὶν εἶναι χώραν τὴν Βιβλίαν, ἣν αὖθις Τισάρην καὶ Οἰσύμην προσαγορευθῆναι. Hesychius: Ἐνοδί α , Ἄρτεμις, ἐπεὶ κυνηγετική, ὡς Ἀνδρομενίδης. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org